[1] Καταστήσας δὲ ὁ βασιλεὺς Εὐσέβιον μὲν ἀντὶ Τερεντίου φύλακα τοῦ κοιτῶνος, Οὐάλεντι δῷ τὴν ἀρχὴν ἣν εἶχε Τουρπιλλίων παραδούς, καὶ μετὰ Βιγελάντιον Ἀλλόβιχον ἵππαρχον καταστήσας, τὴν μὲν τῶν στρατιωτῶν παύειν πως ἔδοξε στάσιν, Ἰόβιος δὲ ὁ τῆς αὐλῆς ὕπαρχος, πᾶσαν εἰς αὐτὸν τὴν παρὰ βασιλεῖ δύναμιν περιστήσας, ἔγνω πρέσβεις ἐκπέμψαι πρὸς Ἀλάριχον, ἄχρι τῆς Ῥαβέννης αὐτὸν παραγενέσθαι σὺν Ἀταούλφῳ παρακαλοῦντας ὡς δὴ τῆς εἰρήνης αὐτόθι γενησομένης. [2] Πεισθέντος δὲ τοῖς τοῦ βασιλέως καὶ τοῖς Ἰοβίου γράμμασιν Ἀλαρίχου, παραγενομένου τε εἰς τὴν Ἀρίμηνον Ῥαβέννης ἀφεστῶσαν μιλίοις τριάκοντα, συνδραμὼν κατὰ ταύτην Ἰόβιος, ἅτε ἐν ταῖς Ἠπείροις πρόξενος καὶ φίλος Ἀλαρίχῳ γεγενημένος, τοὺς περὶ τῶν συνθηκῶν ἐποιήσατο λόγους. (...) [4] Ταύτην δεξάμενος ὁ βασιλεὺς τὴν ἐπιστολὴν καταγινώσκει μὲν τῆς Ἰοβίου προπετείας, γράμμασι δὲ ἐχρῆτο πρὸς αὐτὸν δι᾽ὧν ἐδήλου χρυσίου μὲν καὶ σίτου μέτρον αὐτὸν ὁρίσαι προσήκειν οἷα τῆς αὐλῆς ὕπαρχον ὄντα καὶ τὴν τῶν δημοσίων φόρων ἐπιστάμενον δύναμιν, ἀξίαν δὲ ἢ στρατηγίαν μή ποτε Ἀλαρίχῳ δώσειν ἤ τισι τῶν [τῷ] γένει προσηκόντων αὐτῷ.

(...)

[1] Ταύτην δεξάμενος [ὁ] Ἰόβιος τὴν ἐπιστολὴν οὐ καθ᾽ἑαυτὸν ἀνελίξας ἀνέγνω ταύτην ἀλλ᾽εἰς ἐπήκοον Ἀλαρίχου· καὶ τὰ μὲν ἄλλα μετρίως ἤνεγκεν· ὡς δὲ ἀρνηθεῖσαν εἶδεν ἑαυτῷ τε καὶ <τῷ> γένει τὴν τῆς στρατηγίας ἀρχήν, ἀναστὰς εἰς ὀργὴν αὐτόθεν ἐπὶ τὴν Ῥώμην ἐλαύνειν τοὺς σὺν αὐτῷ βαρβάρους ἐκέλευσεν ὡς αὐτίκα τὴν εἰς αὐτὸν καὶ τὸ γένος ἅπαν ἀμυνούμενος ὕβριν. [2] Ἰόβιος δῷ ἀπορηθεὶς ἐπὶ τῷ παραλόγῳ τῶν τοῦ βασιλέως γραμμάτων εἰς τὴν Ῥάβενναν ἐπανῄει· βουλόμενος δὲ τῆς μέμψεως αὑτὸν ἀπολῦσαι κατέλαβεν ὅρκοις Ὁνώριον, ἦ μὴν εἰρήνην μή ποτ᾽ἔσεσθαι πρὸς Ἀλάριχον, ἀλλ᾽ἄχρι παντὸς αὐτῷ πολεμήσειν· ὤμνυ δὲ καὶ αὐτὸς ὅρκον τῆς βασιλέως ἁψάμενος κεφαλῆς, καὶ τοὺς ἄλλους οἳ τὰς ἀρχὰς εἶχον ταὐτὸν ποιῆσαι παρασκευάσας.